*Ἀγήνορος γὰρ παῖς ἐστιν, ὡς Ἑλλάνικος* (4 F 95)· *ὡς δὲ Ἡσίοδός φησιν* (fr. 138 M.-W.), *Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. ὁμοίως δὲ καὶ Ἀσκληπιάδης* (12 F 22) *καὶ Ἀντίμαχος.*

**60** Schol. Ap. Rhod. 2. 296-7a, "*Στροφάδας δὲ μετακλείουσ' ἄνθρωποι | νήσοιο τοῖο ἕκητι, πάρος Πλωτὰς καλέοντες*"· *Στροφάδας φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι στραφέντας εἰς τοὐπίσω, λαβὼν παρὰ Ἀντιμάχου. οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας. κατὰ δὲ Ἡσίοδον* (fr. 156 M.-W.) *καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται.*

b. *αἱ Πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες. μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ.*

**61** *Et. Gen.* (Miller, *Mélanges* 265) ex schol. Ap. Rhod. 2. 941 *Σήσαμοι καὶ Ἐρυθῖνοι· χωρία Παφλαγονίας. οὓς Ἐρυθίνους φησὶν Ἀντίμαχος διὰ τὴν ἐρυθρότητα καὶ διὰ τὴν τοιαύτην χροιάν.*

**62** Schol. Ap. Rhod. 3. 409-10, "*δοιώ μοι πεδίον τὸ Ἀρήιον ἀμφινέμονται | ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε*"· *καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ Ἡφαιστοτεύκτους τοὺς ταύρους ἀπεφήνατο.*

Cf. Schol. Pind. *Pyth.* 4. 398 (d), ii. 152. 2 Dr.

**63** Schol. Ap. Rhod. 4. 156-66a *ἐν τούτοις καὶ τοῖς ἑξῆς φησι τὴν Μήδειαν ἐπιρραίνουσαν ἀρκεύθῳ ⌊τὸ⌋ φάρμακον κοιμίσαι τὸν δράκοντα ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι, καὶ χωρισθῆναι ἀμφοτέρους ἐπὶ τὴν ναῦν κοιμωμένου τοῦ θηρίου, συμφώνως Ἀντιμάχῳ.*